# TEZAUR LITURGIC

## 15 SEPTEMBRIE

# SLUJBA SF.CUVIOS GHERASIM DE LA SURVIA

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 15 ΣΕΠΤΕΜΒΡΙΟΥ ΓΕΡΑΣΙΜΟΥ ΟΣΙΟΥ ΣΟΥΡΒΙΑΣ ΠΗΛΙΟΥ ΑΚΟΛΟΥΘΙΑ

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

*Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.*

Δεῦτε πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, τὸν φαεινὸν φωστῆρα, τῆς Χριστοῦ Ἐκκλησίας, Γεράσιμον τὸν νέον τὸν τοῦ ἐχθροῦ, τὰς ἐπάρσεις πατήσαντα, τούτῳ βοῶντες ἐν πίστει ὑπὲρ ἡμῶν, τὸν Θεὸν Πάτερ ἱκέτευε. *(δίς)*

Ἡ σὴ Μονὴ πάτερ ἔχει πύργον σὲ ἄσειστον· ἐν ταύτῃ γὰρ προθύμως, τῆς ἀσκησεως πόνους, ἐτέλεσας τρισμάκαρ· διὸ καὶ ἡμῶν, ἀναδειχθεὶς ἐγκαλλώπισμα, τὸν Ποιητὴν καὶ Σωτῆρα ὑπὲρ ἡμῶν, καθικέτευε ῥυσθῆναι δεινῶν.

Μακαριώτισσα πόλις ἐπὶ τῇ μνήμῃ σου, χαίρουσα συγκαλεῖται, τὰς περὶ κύκλῳ πόλεις, Γεράσιμε παμμάκαρ, τελέσαι τὴν σὴν φωτοφόρον πανήγυριν, μεθ᾽ ὧν ἡμεῖς συνελθόντες ᾀσματικῶς, εὐφημοῦμεν τοὺς ἀγῶνάς σου.

*Δόξα. Ἦχος β΄.*

Τῶν ἐν βίῳ πραγμάτων κατεφρόνησας πάτερ Γεράσιμε, ὅτι τὴν ἄνω πολιτείαν ἐπεπόθησας, πλοῦτον

ἐβδελύξω, τὴν πτωχείαν ἐνδυσάμενος, τὴν τρυφὴν ἐμίσησας, καὶ ἐπεσπάσω ἐγκράτειαν, ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην. Διὸ μνημονεῦε καὶ ἡμῶν, ἐν ταῖς πρὸς τὸν Κύριον ὁσίαις σου εὐχαῖς, Πάτερ ὁσιώτατε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν Σκέπην σου.

*Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἤστραψεν ὁ λαμπρός, καὶ πάνσεπτος σου βίος, ὡς ἀστραπὴ καὶ πάντας, κατηύγασε τοὺς πίστει, ὑμνοῦντάς σε Γεράσιμε,

Στίχ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Ἄγγελος ἀληθῶς, ἐδείχθης ἄλλος πάτερ, ἀγγελικῶς βιώσας, ἐν γῇ ὅθεν ἐν ὕμνοις, ἀγγελικοῖς ὑμνοῦμέν σε.

Στίχ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Οἶκος τῶν ἀρετῶν, πανσόφως χρηματίσας, τῆς παντουργοῦ Τριάδος, ἐδείχθης οἶκος Πάτερ· εὐχαῖς σου διὸ σῶσόν με.

*Δόξα. Καὶ νῦν. Ὅμοιον.*

Πρέσβευε ἐκτενῶς, μετὰ τῆς Θεοτόκου, Χριστῳ τῷ σταυρωθέντι, ὑπὲρ τῶν ἐκτελούντων, τὴν μνήμην σου Γεράσιμε.

*Νῦν ἀπολύεις, Τρισάγιον.*
*Ἀπολυτίκιον. Ἦχος δ΄.*

Ὁ ἔνσαρκος Ἄγγελος, τῶν ἀσκητῶν ἡ κρηπίς, ὁ νέος Γεράσιμος τῆς Ἐκκλησίας Χριστοῦ, φωστὴρ ὁ ἀνέσπερος, ἄνωθεν συγκαλεῖται, τὴν πληθὺν τῶν Ἀγγέλων, κάτωθεν συναθροίζει τῶν ἀνθρώπων τὸ γένος, τὴν θείαν αὐτοῦ μνήμην ψάλλειν ἐν ᾄσμασι.

*Δόξα. Καὶ νῦν.*

Σῶσον Κύριε τὸν λαόν σου…Καὶ ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

*Τὸ Μακάριος ἀνὴρ οὐ στιχολογεῖται, διὰ τὸ εἶναι τὴν ἡμέραν τῆς ὑψώσεως τοῦ Σταυροῦ, ἀλλ' εὐθὺς μετὰ τὸν Προοιμιακόν, τὸ Κύριε, ἐκέκραξα, ἐν ᾠ ἱστῶμεν στίχους η΄, καὶ ψάλλομεν Στιχηρὰ τοῦ Τιμίου Σταυροῦ γ΄ δευτερουντες τὸ α΄, καὶ τοῦ Ὁσίου ὅμοια δ΄. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Ὅλην σου τὴν ἔφεσιν, διὰ παντὸς τῷ Κυρίῳ, ἀναθεὶς Γεράσιμε, ἀρετῶν ὑπέρλαμπρον ἐκ νεότητος· σεαυτὸν ἔδειξας, θεοφόρε οἶκον, φωτοβόλοις δὲ πτερώσας σου, τὸν νοῦν ἐμφάσεσι, πρὸς τὸν πρῶτον νοῦν Πάτερ ἔφθασας· ἰάσεων χαρίσματα, ἐξ αὐτοῦ πλουτήσας τρισόλβιε, πᾶσι διανέμων, τοῖς χρήζουσι πλουσίως καὶ αὐτῷ, ἐν παῤῥησίᾳ πρεσβεύων νῦν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοῦ βίου τὸ ἄστατον, καὶ ὁρώμενον τὸ κάλλος, ὑπερβὰς Γεράσιμε, νῦν πρὸς τὸ ἀΐδιον ὄντως οἴκημα·

ἀληθῶς ἔφθασας, ἔνθα ὡς ὁ Παῦλος, τὸ πολίτευμα ἐκέκτησο, νοὸς ὀξύτητι καὶ τῇ τῆς ψυχῆς καθαρότητι, ὡς Ἄγγελος βιώσας γάρ, ἐπὶ γῆς οὐράνιε ἄνθρωπε· νῦν μετὰ Ἀγγέλων, Θεῷ τῷ ἐν Τριάδι παρεστώς, ἐν παῤῥησίᾳ ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Απαν ἀχθοφόρημα βιωτικῶν ἀποῤῥίψας, καὶ πλοῦτον τὸν ἄστατον, καὶ τρυφὴν τὴν ῥέουσαν βδελυξάμενος, τὸν ζυγὸν ἦρας δέ, τὸν χρηστὸν Ὅσιε, καὶ Χριστῷ κατηκολούθησας, καὶ πρὸς οὐράνιον χῶρον θαυμαστὼς νῦν ἐσκήνωσας, ἐν ᾧ συναυλιζόμενος, μετὰ τῶν ἀΰλων ὡς ἄϋλος, ἡμῶν μὴ ἐλλείπης, πρεσβεύειν τῶν τὴν θείαν σου σορόν, ἀσπαζο μενὼν ἐκ πίστεως, ἔνδοξε Γεράσιμε.

Ἄκακος ἀκέραιος, πρᾶος ἡσύχιος Πάτερ, ὀφθεὶς ἐκ νεότητος, κανὼν ἐχρημάτισας ἀκριβέστατος, μοναζόντων νέος, παρθενίας τε διδάσκαλος, καὶ τῆς πραότητος, καὶ ἀκτημοσύνης ὑπόδειγμα, Γεράσιμε θεόσοφε, γέρας τῶν πιστῶς εὐφημούντων σε, μὴ οὖν διαλείπῃς πρεσβεύων τῇ Τριάδι ἐκτενῶς, ὑπὲρ τῶν πίστει τελούντων σου, μνήμην τὴν ἔτησιον.

Δόξα. Ἦχος πλ. β΄. .

Ἀγγελικὸν βίον ἐν γῇ ἐπιδειξάμενος, Ὅσιε πάτερ θεοφόρε Γεράσιμε, ἄνθρωπος οὐράνιος ἐπεφάνθης, τὰ σὰ γὰρ πάντα, καὶ σεαυτὸν τῷ κτίστῃ σου ἀφιέρωσας. Ὅθεν τὰ πάντα σκύβαλα ἡγησάμενος, οὐδὲν σοὶ πρὸς τοὺς ἀσκητικοὺς ἀγῶνας ἐμποδὼν ἀντικατέστη, ἀλλ’ ὡς φίλην καὶ σύνοικον τὴν ἀρετὴν κτησάμενος, προήχθης ὑπ’ αὐτῆς ἐνώπιον τοῦ Βασιλέως Χριστοῦ,

ὡς Ὅσιος κεκοσμημένος πράξει καὶ θεωρίᾳ, ἡμῖν ἐξαιτούμενος, τοῖς ἐν πίστει προσκυνοῦσί σου τὴν τῶν λειψάνων θείαν λάρνακα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν, ὁ αὐτός.*

Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπίς, πεπλανημένων ὁδηγέ, χειμαζόμενων λιμήν, ἐν πολέμοις νίκος, οἰκουμένης ἀσφάλεια, νοσούντων ἰατρέ, νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

*Εἴσοδος. Φῶς ἱλαρόν.*

Προκείμενον, ἦχος βαρύς: *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν.*

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ´ 1-9).*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι

λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (δ´ 7-15).*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(ε´15-23,στ´1-3).*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ

αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Εἰς τὴν Λιτὴν ψάλλομεν. Ἦχος α΄.*

Ὁ πολύφωτος ἥλιος τῆς Ἐκκλησίας Χριστοῦ, ὁ οὐράνιος ἄνθρωπος, καὶ ἐπίγειος Ἄγγελος, Γεράσιμος, ἡ ἀγγελικὴ πανδαισία, σήμερον συγκαλεῖται ἡμᾶς πρὸς ἑστίασιν πνευματικήν, τῶν θεοπνεύστων λόγων, καὶ θαυμάτων αὐτοῦ. Μηδεὶς οὖν ἐξέλθῃ πεινῶν τῆς ἱερᾶς ταύτης πανδαισίας· καὶ γὰρ

μεταδίδωσιν ὡς ἑστιάτωρ πνευματικός, τὸ ἁπλοῦν, τὸ ἀκέραιον, τὸ ἄκακον, τὸ καρτερικόν, τὴν τῶν ἠθῶν διακόσμησιν, καὶ ὀρθότητα τῶν ευσεβῶν δογμάτων. Τούτοις οὖν ἐντρυφήσαντες, καὶ ἀντὶ οἴνου τοῖς ἀσκητικοῖς αὐτοῦ εὐωχηθέντες ἱδρῶσι, πρὸς αὐτὸν γηθοσύνως βοήσωμεν· Πάτερ ἡμῶν τρισόλβιε! Αἴτησαι φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν.

*Ἦχος β΄.*

Τῶν ἐν βίῳ πραγμάτων κατεφρόνησας πάτερ Γεράσιμε, ὅτι τὴν ἄνω πολιτείαν ἐπεπόθησας, πλοῦτον ἐβδελύξω, τὴν πτωχείαν ἐνδυσάμενος, τὴν τρυφὴν ἐμίσησας, καὶ ἐπεσπάσω ἐγκράτειαν, ἀδικίαν ἀπεβάλου, καὶ ἐδίωξας δικαιοσύνην. Διὸ μνημονεῦε καὶ ἡμῶν, ἐν ταῖς πρὸς τὸν Κύριον ὁσίαις σου εὐχαῖς, Πάτερ ὁσιώτατε!

*Ἦχος δ΄.*

Σήμερον πιστοὶ συνελθόντες, ἐν τῇ πανσέπτῳ μνήμῃ Γερασίμου τοῦ ὑπερενδόξου, ψαλμικῶς αὐτὸν μακαρίσωμεν λέγοντες· μακάριος εἶ, καὶ καλῶς σοι ἔσται, πάτερ ἀξιάγαστε! ὅτι τὸ δοθέν σοι ταλάντου φιλοπόνως ἐπηύξησας· διὸ εὐλόγησέ σε ὁ Κύριος, καὶ δέδωκέ σοι τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ, ἐν ᾗ ἡμῶν μνήσθητι, τῶν ἐκ πόθου τελούντων τὴν θείαν σου κοίμησιν.

*Δόξα. Ἦχος πλ. α΄.*

Ἀσκητικοῖς ἀγῶσι σαυτὸν κατακοσμήσας, τῶν ἀσκητῶν συνόμιλος γέγονας, Γεράσιμε θεόσοφε, πάντα γὰρ πόνον ἀσκητικὸν ὑπομείνας, ἀπείληφας τὸ

βραβεῖον τῆς ἄνω κλήσεως· διὸ καὶ ἡ σὴ ποίμνη, θαυμάζει σου τὰ θαύματα, ὁμοῦ δὲ καὶ ἡ Δημητριὰς τὰ διδάγματα, καὶ ἡ λάρναξ τοίς ἐν αὔτη προσιοῦσι βρύει ἰάματα· μεθ' ὧν καὶ ἡμῖν ψυχικῶν νοσημάτων τὴν ἴασιν βράβευσον, ὅπως δοξάζωμεν ἀπαύστως, τὸν σὲ δοξάσαντα Κύριον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς, ὁ αὐτός.*

Ἡ φωνὴ τῶν προφητῶν σου...

*ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ τῇ ἀγάπῃ Χριστοῦ, πυρποληθεὶς καὶ πρὸς ἀγῶνας καὶ σκάμματα, χωρήσας γενναιόφρονος, καὶ τὸν ἐχθρὸν καθελών, τοῦ Σταυροῦ δυνάμει ἀξιάγαστε. Πιστῶν τὸ προπύργιον, τῶν νοσούντων ἡ ἴασις, ἡ θεία σκέπη, ἀσκητῶν ἐγκαλλώπισμα, τῶν ἐν θλίψεσι, πονουμένων παράκλησις. Δώρησαι τοῖς ὑμνοῦσί σε, ψυχῆς τε καὶ σώματος, ἀπαλλαγήν τε καὶ λύσιν, τῶν νοσημάτων Γεράσιμε, Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ.: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Χαίροις τῶν μοναστῶν καλλονή, τῶν ἀρετῶν τὸ διαυγὲς καταγώγιον, ἡ στάθμη τῆς ἐγκρατείας, τῆς σωφροσύνης κανῶν, ποταμὸς θαυμάτων θείων ἔμπλεως, ἐξ ὧν καταρδεύεται τῶν ἀζύγων συστήματα, πρὸς εὐκαρπίαν ψυχικὴν καὶ σωτήριον, καὶ αἰσχρῶν παθῶν ἀποπλύνεται βόρβορος. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε Ἄγγελε, ὄντως Γεράσιμε πάτερ, τῆς ἡσυχίας

διδάσκαλε, Χριστοῦ κληρονόμε, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στιχ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφοδρά.*

Πάντων τῶν προσφευγόντων τῇ σῇ σορῷ ὑπάρχων βοηθὸς καὶ ὑπέρμαχος, ὑμᾶς τοὺς τὴν παναγίαν σου καὶ σεπτὴν ἑορτήν, ἐκ καρδίας πόθου πανσεβάσμιε, τελοῦντας διάσωσον, ἐκ κινδύνων καὶ θλίψεων, διασκεδάζων μηχανὰς τὰς τοῦ δράκοντος, ὅπως πίστει σοι, πάντες κράζωμεν, Ὅσιε. Χαίροις ὁ τὰ οὐράνια, βατεῦων σκηνώματα, τὰ ἐπὶ γῆς καταλείψας, προθύμῳ γνώμῃ Γεράσιμε. Χριστὸν δὲ ποθήσας, τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος δ΄.*

Εὐφραίνεσθε δίκαιοι, ἀγαλλιᾶσθε πάντες οἱ γηγενεῖς, καὶ λαμπρῶς πανηγυρίσατε, σκιρτῶντες φαιδρῶς ἐπὶ τῇ μνήμῃ Γερασίμου τοῦ τρισμάκαρος· σήμερον γὰρ τῶν ἀπὸ γῆς ἀπεδήμησε, καὶ μετὰ Ἀγγέλων χορεύει, ἐν οὐρανίοις σκηνώμασιν αὐλιζόμενος, καὶ τῇ ἁγίᾳ παριστάμενος Τριάδι, πρεσβεύει διηνεκῶς ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων τὴν μνήμην αὐτοῦ τὴν ὑπέρλαμπρον, λυτρωθῆναι πειρασμῶν, τῶν ἐκ τῆς Ἄγαρ ἀπογόνων, τῶν κακῶς τυραννούντων ἡμᾶς, καὶ πταισμάτων ῥυσθῆναι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

*Καὶ νύν. Τῆς Ἑορτῆς, ὁ αὐτός.*

Φωτολαμπὴς ἀστέρων τύπος...

*Νῦν ἀπολύεις, Τρισάγιον. Ἀπολυτίκιον. Ἦχος δ΄.*

Ὁ ἔνσαρκος Ἄγγελος, τῶν ἀσκητῶν ἡ κρηπίς, ὁ νέος Γεράσιμος τῆς Ἐκκλησίας Χριστοῦ, φωστὴρ ὁ ἀνέσπερος, ἄνωθεν συγκαλεῖται, τὴν πληθὺν τῶν Ἀγγέλων, κάτωθεν συναθροίζει τῶν ἀνθρώπων τὸ γένος, τὴν θείαν αὐτοῦ μνήμην ψάλλειν ἐν ᾄσμασι.

*Δόξα. Καὶ νῦν.*

Κῶσον Κύριε τὸν λαόν σου...

Καὶ ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

*Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.*

Καρδίαν ἱεράν, ἱερωτάτε Πάτερ, δειμάμενος ναόν, τὴν ψυχὴν δέ σου πήξας, αὐτοῦ ὡς θείαν τράπεζαν, καὶ τὸν νοῦν καταστήσας σου, Ἱερέα τε, σου τὴν προαίρεσιν πόνοις, πλείστοις ἔθυσας, Θεῷ θυσίαν διό σε, ὑμνοῦμεν Γεράσιμε.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν. Τῆς Ἑορτῆς, ὅμοιον.*

Τὸ ὅπλον τοῦ Σταυροῦ, ἐν πολεμοῖς ἐδείχθη, ποτὲ τῷ Βασιλεῖ, εὐσεβεῖ Κωνσταντίνῳ, ἀήττητον τρόπαιον, κατ᾿ ἐχθρῶν διὰ πίστεως· τοῦτο τρέμουσιν, αἱ ἐναντίαι δυνάμεις, τοῦτο γέγονε, καὶ τῶν πιστῶν σωτηρία, καὶ Παύλου τὸ καύχημα.

*Μετὰ τὴν β΄ στιχολογίαν,*
*Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.*

Τὴν ματαιότητα, κόσμου ἐμίσησας, καὶ τὰ οὐράνια κάλλη ἐπόθησας, τὰ τῆς σαρκὸς πάθη διό, γενναίως ἀπενέκρωσας, ἔνδοξε Γεράσιμε, τῶν Ἀγγέλων συνόμιλε· ὅθεν καὶ ἰάσεων, ῥεῖθρα βρύεις τοῖς πίστει σου, τὴν μνήμην ἐκτελοῦσι τὴν θείαν, Πάτερ ἀξιοθαύμαστε.

*Δόξα. τὸ αὐτό. Καὶ νῦν τῆς. Ἑορτῆς ὅμοιον*

Σταυρὸν ὑπέμεινας, ἀτίμως Δέσποτα, ὁ ὑπερεκεῖνα πάσης τῆς κτίσεως, ὅπως τιμήσῃς μὲ τὸν πρίν, δεινῶς ἀτιμασθέντα, λόγχη τὴν πλευράν σου δέ, ἐκεντήθης μακρόθυμε, θέλουν ἐκλυτρώσασθαι ἐκ φθορᾶς μὲ τὸ πλάσμα σου, ὑμνῶ σου τὴν πολλὴν εὐσπλαγχνίαν, καὶ τὴν ἀγαθότητα φιλάνθρωπε.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὴν σάρκα ἐσταύρωσας σὺν τοῖς παθήμασι, καὶ πᾶσαν τὴν ἔφεσιν πρὸς τὸν Χριστὸν ἐσχηκώς, Γεράσιμε Ὅσιε, ἄφθαρτον διὰ τοῦτο ἐκομίσω τὸ στέφος, καὶ ἀγγέλων ταῖς θείαις, ἠριθμήθης χορείαις, πρεσβεύων Χριστῷ τῷ Θεῷ ἐκτενῶς, ὑπὲρ τῶν ὑμνούντων σε.

*Δόξα, τὸ αὐτό. Καὶ νῦν. τῆς Ἑορτῆς· ὅμοιον.*

Σταυρὸν καὶ τὸν θάνατον ὑπὲρ ἡμῶν ἀγαθέ, δι᾽ ἄμετρον ἔλεος ἑκὼν ὑπέμεινας, καὶ κρίσιν τὴν ἄδικον, ὅπως τῆς καταδίκης καὶ ἀρχαίας κατάρας, πάντας

ἐλευθερώσῃς τοὺς ἀπάτῃ φθαρέντας· διό σου προσκυνοῦμεν, Λόγε τὴν σταύρωσιν.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.*

Στίχ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

Τὸ Εὐαγγελιον, ἐκ τοῦ κατὰ Ματθαῖον, κεφ. ΙΑ΄: *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου...*

Ὁ Ν΄ Ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.*

Στίχ.: *Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου, τῶν δαιμόνων ὤλεσας τὸς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας, παῤῥησίαν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Κανὼν τοῦ Τιμίου Σταυροῦ μετὰ τῶν Εἱρμῶν εἰς στ΄· καὶ τοῦ Ἁγίου δύο εἰς η΄.

Ὁ α΄ Κανὼν τοῦ Ὁσίου Γερασίμου.

*Ὠδὴ α΄. Ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Δοξάσας τοῖς μέλεσι τοῖς σοῖς, τὸν ὑπὸ πάντων θέον δοξαζόμενον, ἔνδοξε Γεράσιμε, τοὺς εὐσεβῶς ἐν πίστει σε δοξάζοντας, δόξης αἰωνίου, μετόχους δεῖξον πρεσβείαις σου.

Ἱδρῶσί σου ἅπασαν τὴν γῆν, ὑπὲρ Χριστοῦ κενωθεῖσαν ἡγίασας· τοῦτον οὖν ἱκέτευε, ἁγιασμὸν καὶ φωτισμὸν καὶ ἔλλαμψιν, ἐπιχορηγήσας, ἡμῖν τρισμάκαρ Γεράσιμε.

Δαιμόνων μαστίξας τὴν πληθύν, ἀσκητικοῖς σου παμμάκαρ παλαίσμασι, πάσης ἡμᾶς μάστιγος τοῦ πονηροῦ, καὶ ἐπηρείας λύτρωσαι, καὶ πυρὸς γεέννης, ταῖς πρὸς Θεὸν μεσιτείαις σου.

*Θεοτοκίον.*

Μόνῃ τῶν ἁγίων καλλονή, καλλοποιὸν Υἱὸν ἡ κυήσασα, πάντας καταλάμπρυνον, ταῖς καλλοναῖς τῶν ἀρετῶν πρεσβείαις σου, ὅπως ἐν αἰνέσει, χρεωστικῶς εὐφημοῦμέν σε.

*Ἕτερος κανών. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Ἄνωθεν ἅπαν τοῖς ἀνθρώποις δώρημα, ἐκ σοῦ κατέρχεται, τῶν τοῦ Πατρὸς φώτων· ὅθεν μοι τὴν πάμφωτον, ἐφιεμένῳ δώρησαι, θείου Πνεύματος

χάριν, ὑμνῆσαι μνήμην ἐν ᾄσμασι, νέου Γερασίμου φιλάνθρωπε.

Ταῖς ἀστραπαῖς τοῦ παρακλήτου Ὅσιε, καταλαμφθεὶς τὴν ψυχὴν, τὸ κοσμικὸν κούφως, ἔπλευσας κλυδώνιον, Γεράσιμε καὶ ἔφθασας, πρὸς σκηνὰς οὐρανίους, ἔνθα σαφῶς τὸ πολίτευμα, ἔσχηκας ὡς Παῦλος ἀοίδιμε!

Ἀφθόνως Ὅσιε Χριστῷ πειθόμενος, τὸ παρ᾽ αὐτοῦ σοι δοθέν, τάλαντον ὡς δοῦλος, εὐπειθὴς διένειμας, καὶ ὡς πιστὸς ἐπηύξησας, τοιγαροῦν σε ἀμοιβῶν χαρὰς ἀφράστου ἠξίωσεν, ὁ Δεσπότης πάντων Γεράσιμε.

*Θεοτοκίον.*

Φωτιστικαῖς σου ἀθανάτοις λάμψεσι, Θεοχαρίτωτε, πύλη φωτὸς μόνη, ὁ κλεινὸς Γεράσιμος, λαμπρῶς φωταγωγούμενος, τὸ βαθύτατον σκότος, τῆς ματαιότητος ἔφυγε, σὲ ὑμνολόγων τὴν πανύμνητον.

Καταβασία. *Σταυρὸν χαράξας...*

*ᾨδὴ γ΄. Ὁ μόνος εἰδώς.*

Ἰσχύϊ Χριστοῦ πᾶσαν ἰσχύν, δαιμόνων ἐξενεύρησας, καὶ κατ᾽ αὐτῶν μεγάλως ἠρίστευσας· διὸ βοῶμεν, πάντας ἐνίσχυσον, καὶ σεπτῶς κραταίωσον, τοῦ ποιεῖν τὸ θέλημα, τοῦ Κυρίου παμμάκαρ Γεράσιμε.

Ῥομφαία ὤφθης κατ᾽ ἐχθρῶν, ἀοίδιμε Γεράσιμε, ἀσκητικως τελέσας τὸν δρόμον σου· διὸ πιστῶς σοι βοῶμεν Ἅγιε, τῶν βελῶν τοῦ ὄφεως, καὶ σκανδάλων ἅπαντας, τοὺς πιστῶς σε τιμῶντας περίσῳζε.

Τῷ πόθῳ Χριστοῦ πυρποληθείς, Γεράσιμε πατὴρ ἡμῶν, τὴν τῶν δαιμόνων πληθὺν κατέφλεξας· διὸ βοῶ σοι τὰ φρυγανώδη μου, πάθη νῦν κατάφλεξον, καὶ πυρὸς αἰωνίου με λύτρωσον.

*Θεοτοκίον.*

Λαμπρά σε φωνὴ νῦν ἐκ ψυχῆς, κυρίως Θεομήτορα, τὴν τὸν Θεὸν τεκοῦσαν κηρύττομεν, σεσαρκωμένον ἐκ σοῦ τὸν ἄσαρκον, ἐν ἡμῖν σκηνώσαντα, οὐ τροπὴν δεξάμενον, οὐ φυρμῷ συσχεθέντα πανάμωμε.

*Ἕτερος. Ὁ στερεώσας κατ᾽ ἀρχὰς*

Ανεπιστρόφῳ λογισμῷ, καὶ διανοίᾳ συντόνῳ, τὴν σκληρὰν καί τεθλιμμένην προθύμως, καὶ τραχεῖάν τε ὁδόν, χαίρων στεῤῥῶς διώδευσας, ὅθεν πρὸς θεῖον πλάτος, τοῦ Παραδείσου κατήντησας.

Ἄκακὸς ἄπλαστος ἁπλούς, εὐθὺς ἡδὺς ἐλεῆμων, ἀμνησίκακος χρηστὸς καὶ ἀκτήμων, ὀργῆς κρείττων γεγονώς, σεαυτὸν οἶκον ἐτέλεσας, τῆς παντουργοῦ Τριάδος, Ὅσιε Πάτερ Γεράσιμε.

Ἀπὸ νεότητος δεικνύς, φρόνημα Πάτερ γενναῖον, καὶ τὸ σῶμα τῇ ψυχῇ ὑποτάξας, ὑποτάττεσθαι αὐτῇ, ὡς δοῦλον τοῦτο ἔπεισας· ὅθεν ὡς θέσει πάντες, Θεοῦ Υἱὸν σὲ γεραίρομεν.

*Θεοτοκίον.*

Νομοθεσίαις τοῦ ἐκ σοῦ, σεσαρκωμένου Δεσπότου, πειθαρχῶν ὁ σὸς θεράπων Παρθένε, ὁ Γεράσιμος ἀρχάς, τοῦ σκότους ἐτροπώσατο, ἔχων σὲ συνεργάτιν, τὴν σώζουσαν τὰς ψυχὰς ἡμῶν.

Καταβασία: *Ῥάβδος εἰς τύπον...*

*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Νέος ἥλιος τῇ Ἐκκλησίᾳ, ἀνατέταλκας τῶν ἀρετῶν σου, ἀνατολὴ καὶ θαυμάτων πυρσεύμασι, καταλαμπρύνας πιστῶν τὰ συστήματα, καὶ τῶν ἀζύγων φαιδρύνων τὰ πρόσωπα, πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καί νῦν. Τῆς ἑορτῆς. Ἠχος πλ. α΄. Τὸν συνάναρχον λόγον.*

Τὸ πανάγιον ξύλον τοῦ Βασιλέως Χριστοῦ...

*Ὠδὴ δ΄. Ὄρος σὲ τῇ χάριτι.*

Ναόν σε γενόμενον Κυρίου πανάγαθον, τῇ ἐργασίᾳ ἀρετῶν, καὶ πόνοις ἀσκήσεως συχνοῖς, ναῷ ἐν ἁγίῳ σου, περιχαρῶς σὲ ἀνυμνοῦμεν Γεράσιμε, Πνεύματος θείου ναοὺς ἡμᾶς ἔργασαι.

Νάμασι κατάῤῥυτος θαυμάτων Γεράσιμε, Πνεύματος ὤφθης γεγονῶς διὸ βοῶμέν σοι ἀεί, πλουσίως καταρδευσον, πάντων ἡμῶν τὰς διανοίας ἀοίδιμε, καὶ νοσημάτων τὸν ῥύπον ἀπόπλυνον.

Ὕψωσε Χριστὸς ἀσκητικῶς ἐναθλήσαντα, ὅν ἐκδυσώπει ἐκτενῶς ἀπὸ κοπρίας τῶν παθῶν, ὕψωσαι τοὺς πίστει σε, εἰλικρινεῖ νῦν ἀνυμνοῦντας Γεράσιμε, καὶ ἐν αἴνεσι θερμῶς σε δοξάζοντας.

*Θεοτοκίον.*

Ὑπνώσας εἰς θάνατον, κατάκειμαι ἐν τάφῳ, τῆς ἀπογνώσεως ἁγνὴ πεπεδημένος ταῖς σειραῖς, τῶν

παραπτωμάτων μου, ἀλλὰ τῇ σῇ ἄγρυπνος πρεσβείᾳ ἔγειρον, καὶ πρὸς μετάνοιαν ἴθυνον Δέσποινα.

*Ἕτερος. Σὺ μου ἰσχὺς Κύριε.*

Ῥείθροις ζωῆς, τῆς αἰωνίου Γεράσιμε, ὥσπερ δένδρον, σὺ καταρδευόμενος ἐν διεξόδοις θείων πηγῶν, τὸ πεφυτευμένον, καρποὺς ἐνθέους μετέδωκας, τοῖς πᾶσι θεοφόρε, τῷ Δεσπότῃ κραυγάζων, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὥσπερ ἀστήρ, τὴν κτίσιν πᾶσαν Γεράσιμε, θείῳ φέγγει, ἀληθῶς κατηύγασας, ἐν τοῖς ἐσχάτοις χρόνοις σοφέ, τῶν ἀζύγων πάλιν, ψυχὰς ἐνθέως κατηύφρανας, θαυμάτων λαμπηδόσι, σου τὴν μνήμην τιμώντων, τὴν πανὶερον Πάτερ ἐν ᾄσμασι

Πᾶσαν σπουδῇ, ὡς μίαν Πάτερ ἐξήσκησας, τετρωμένος, φίλτρῳ τοῦ Δεσπότου σου, τὴν ἀρετὴν ἥ σε τῳ αὐτοῦ, θρόνῳ ἰσαγγέλως, κατέπαυσεν ὡς βιώσαντα, διὸ καὶ μετ᾽ Ἀγγέλων, ὥσπερ Ἄγγελος ἄλλος ἐν ὑψίστοις χορεύεις Γεράσιμε.

*Θεοτοκίον.*

Ὡς καθαρόν, τοῦ Βασιλέως παλάτιον, σὲ παρθένε, ὁ κλεινὸς Γεράσιμος ἐπικαλούμενος βοηθόν, χαράν τε μακαρίαν, πληθὺν δαιμόνων ἠδάφισε, καὶ πρὸς ναὸν τὸν ἄνω, μετετέθη ἐν δόξῃ, ἐν αἰνέσει γεραίρων σὲ πάναγνε.

Καταβασία : *Εἰσακήκοα Κύριε…*

*ᾨδὴ ε΄. Ὁ φωτίσας.*

Λόγον θεῖον ἐξηρεῦξω, θεόφρον Γεράσιμε, καὶ ἐγένου ἀπλανὴς ὁδηγὸς σὺ ἐν χάριτι, πλανομένοις ἅπασι, διὸ βοῶμέν σοι τῆς πλάνης, τῶν πειρασμῶν ἡμᾶς λύτρωσαι.

Ὡραιώθης ἐναρέτοις σοφὲ ὡραιότησιν, ἐδοξάσθης τῶν θαυμάτων πολλαῖς ἐπιδείξεσι, θαυμαστὲ Γεράσιμε, διὸ σὲ πίστει δυσωποῦμεν, ῥῦσαι ἡμᾶς πάσης θλίψεως.

Στειρευούσῃ γυναικῖ σοι ἐλθούσῃ ἐκ πίστεως, τοὺς τῆς μήτρας καταρράκτας εὐχῇ σου διήνοιξας, ὅλως οὖν στειρεύουσαν, τὴν παναθλίαν μου καρδίαν, εὔκαρπον δεῖξον Γεράσιμε.

*Θεοτοκίον.*

Οὐκ ἐφθάρης ἐν τῷ τίκτειν ἀσπορως πανάμωμε, διὰ τοῦτο ἐκτενῶς ἱκετεύω σε, Δέσποινα, τὴν ἀφθαρεῖσαν ἄχραντε, τοῖς λογισμοῖς ψυχήν μου ῥῦσαι, τῆς αἰωνίου κολάσεως.

*Ἕτερος. Ἵνα τί με ἀπώσω.*

Τῆς σαρκὸς ἀπηρνήσω, πᾶσαν ἡδυπάθειαν ὡς οὐδὲν ἔχουσαν, ὄφελος τρισμάκαρ, καὶ Σταυρὸν ἐπ᾽ ὤμων ἀράμενος, τὸν Χριστὸν ποθήσας, ἐν οὐρανοὶς συμβασιλεύεις, ἐπαξίως αὐτῷ τῷ Δεσπότῃ σου.

Ἰακὼβ σὺ πλουτήσας, ἔνδοξε Γεράσιμε τὸ καρτερώτατον, καὶ Δαβὶδ τὸ πρᾶον, τοῦ Ἰὼβ τὸ γενναῖον ἐν θλίψεσι, Ἰωσὴφ τὸ σῶφρον, καὶ Ἀβραὰμ φιλοξενίαν, χαρισμάτων μετέσχες τοῦ Πνεύματος.

Οὐχ’ ἡδέα τοῦ βίου, οὐδ᾽ ἡ τούτων στέρησις πάτερ Γεράσιμε, οὐδὲ τῆς νηστείας, οἱ ὑπέρμετροι πόνοι καὶ ἕτερα, ἅπερ χαίρων ἐτέλεις, οὐχ’ ἡ παράτασις τοῦ χρόνου, τὸν πρὸς Κύριον ἤμβλυνεν ἔρωτα.

*Θεοτοκίον.*

Γεράσιμος κόρη, ὁ κλεινὸς θεράπων σου παννύχοις στάσεσι, σὲ τὴν πάντων σκέπην, εἰς βοήθειαν ἐπικαλούμενος, τῶν δαιμόνων φόβους, καὶ τῆς σαρκὸς ἐπαναστάσεις, ἀκλονήτῳ διῆλθε φρονήματι.

Καταβασία: Ὢ τρισμακάριστον ξύλον...

*ᾨδὴ ϛ΄. Ἐκύκλωσεν ἡμᾶς.*

Ὡραῖος καλλοναῖς ταῖς τῆς ἀσκήσεως, ἐγένου πανσεβάσμιε, Γεράσιμε θεουμένος φαιδρῶς, θέσει καὶ υἱὸς ἀποδεικνύμενος, πανευκλεῶς, Πατρὸς τῶν φώτων ἀξιοθαύμαστε.

Ὕφάνας σεαυτῳ δόξης ἱμάτιον, οἰκείων ἐξ ἱδρώτων σου, γυμνωθέντα μὲ κακῶν ἐπιβουλαῖς, θείαις σου πρεσβείαις πάλιν ἔνδυσον, καταστολὴν σωτηριώδη Πάτερ Γεράσιμε.

Μεγάλα κατ᾽ ἐχθρῶν ἐστήσω τρόπαια, μεγάλως τεθαυμάστωσαι, ἐπιδείξεσι θαυμάτων τεραστίων, μέγας οὖν ἡμῖν πρόμαχος φάνηθι, ἐξ ἀναγκῶν Πάτερ μεγάλων λυτρούμενος.

*Θεοτοκίον.*

Κυρίως σε Θεοῦ Μητέρα πάναγνε, φρονοῦντες καταγγέλλομεν, τὸν γὰρ ἀνάρχον Υἱὸν μονογενῆ, τὸν πρὸ τῶν αἰώνων ἀναλάμψαντα, ἐκ τοῦ Πατρὸς

ἀνερμήνευτος Παρθένε τέτοκας.

*Ἕτερος. Ἱλάσθητί μοι Σωτήρ.*

Ἰσάγγελον ἐπὶ γῆς, διῆλθες βίον Γεράσιμε, καὶ νῦν ἐν τοῖς οὐρανοῖς, τῆς θείας ἐπέτυχες ἰσαγγέλου στάσεως, λυθέντων δ᾽ ἐσόπτρων, ἐποπτεύεις ἃ ἐπόθησας.

Τὸ τριμερὲς τῆς ψυχῆς, καταποντίσας Γεράσιμε, ἐν ἀπαθείας βυθῷ, Τριάδος γεγένησαι, οἶκος γεγονότα μέ, οἶκον λῃστῶν πάτερ, ταῖς πρεσβείαις σου διάσωσον.

Τῶν κοσμικῶν ταραχῶν, τὸν νοῦν φυλάξας ἀτάραχον, τὸ ταραχῶδες παθῶν, διῆλθες κλυδώνιον, διὸ καὶ κατέπαυσας, εἰς τὰς ἀταράχους, καταπαύσεις Πανσεβάσμιε.

*Θεοτοκίον.*

Νευρούμενος ταῖς ἐκ σοῦ, ἐκπεμπομέναις δυνάμεσιν, ὁ σὸς θεράπων Χριστέ, ὁσίως ἠρίστευσε τὴν ἁγνὴν Μητέρα σου, ἀνυμνῶν ἐκ πόθου, τὴν ἀῤῥήτως σὲ κυήσασαν.

Καταβασία: *Νοτίου θηρός...*

*Κοντάκιον. Τῇ ὑπερμάχῳ.*

Ὡς τῆς Τριάδος ἱερὸν καὶ θεῖον τέμενος, διὰ ζωῆς τῆς ἰσαγγέλου χρηματίσαντα, ἀνυμνοῦμέν σε οἱ παῖδές σου θεοφόρε, ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν ταύτῃ πρέσβευε, ἐκ παντοίων ἡμᾶς ῥυσθῆναι τάχος θλίψεων, ἵνα κράζωμέν σοι. Χαίροις Πάτερ Γεράσιμε.

*Ὁ Οἶκος.*

Ἄγγελος ἄλλος ὤφθης, ἐπὶ γῆς θεοφόρε, τὸν βίον σου καὶ γὰρ ἰσαγγέλως, ἀληθῶς διῆλθες, καὶ βροτὸς ἔνδοξε, ἐφάνης ἐπουράνιος· διὸ καὶ παρ᾽ ἡμῶν μετὰ χαρᾶς τῶν σῶν παίδων ἀκούεις ταῦτα·

Χαίροις, τερπνὸν μοναζόντων κλέος·
χαίροις, ἀστὴρ παμφαὴς τοῦ κόσμου.
Χαίροις, ἀσθενούντων ὀξεῖα ἀντίληψις·
χαίροις, εὐρωστούντων ἀκλόνητον ἔρεισμα.
Χαίροις, ὅτι τὰ ἐπίγεια ἀπεβάλου νουνεχῶς·
χαίροις, ὅτι τὰ οὐράνια ἐπελάβου καρτερῶς.
Χαίροις, τῶν θείων ὄντως ἀρετῶν ὁ ταμίας·
χαίροις, τὴν ἁμαρτίαν ὁ μισήσας ἐκ καρδίας.
Χαίροις, παθῶν παντοίων καθαίρεσις·
χαίροις, ἡμῶν προστάτης καὶ λύτρωσις.
Χαίροις, μοναστῶν ἑτοιμότατος ῥύστης·
χαίροις, παντὸς καταφύγιον κόσμου.
Χαίροις, πάτερ Γεράσιμε.

*Συναξάριον.*

Τῷ αὐτῷ μηνὶ ιε´, τοῦ Ὁσίου Γεράσιμου τοῦ νέου, τοῦ ἐκ Λεονταρίου Πελοποννήσου, καὶ κτήτορος τῆς Ἱ. Μ. Ἁγ. Τριάδος Σουρβίων Πηλίου.

Βροτὸς πεφυκὼς Ἀγγέλοις συνηυλίσω.
Τὰ σώματός σου δαμάσας πάθη πόνοις.
Γῆν δ᾽ ἔλιπες δεκάτῃ πόλον οἰκήσας σὺ τετάρτῃ.

*ᾨδὴ ζ΄. Σὲ νοητήν.*

Ὁ τοῦ λοιμοῦ στήσας τὴν ψυχόλεθρον, πάλαι Γεράσιμε φοράν, μεσιτείαις σου ἱεραῖς, ῥῦσαι τούτου Ἅγιε, πάσης τε κακώσεως, ποίμνην τὴν σὴν πόλιν Μακαριώτισσαν, τὴν εὐσεβεῖ πόθῳ, τιμῶσαν ταῖς ἀριστείαις σου.

Ἐξ ἐθνικῆς συμφορᾶς ἀπάλλαξον, πόλιν σὲ θερμῶς, Μακαριώτισσαν σοφέ, πρέσβυν σὲ πλουτήσασαν, Πάτερ ἀκαταίσχυντον, ἐναντίων τρέπουν φάλαγγας, τὰς κατ᾽ αὐτῆς κινουμένας, ἀεὶ Πάτερ Γεράσιμε.

Νόσους δεινὰς πρὸ θανάτου ἔλυσας, καὶ μετὰ θάνατον σοφέ, τῶν ψυχῶν ἡμῶν τὰ πολλά, ἴασαι συντρίμματα, πάσας τῶν σωμάτων τε, τὰς μαλακίας ἀπέλασον, τὸν εὔσπλαγχνον ἱκετεύων, Θεὸν μάκαρ Γεράσιμε.

*Θεοτοκίον.*

Ἵνα Θεὸς γὲνηται ὁ ἄνθρωπος, ἐκ σοῦ σεσάρκωται Θεός, ὃν ἱκέτευε ἐκτενῶς, ἄχραντε πανάμωμε, σῴζεσθαι τοὺς δούλούς σου, ἐπηρειῶν τοῦ ἀλάστορος, καὶ χαλεπῆς ἐν γεέννῃ, φλογὸς καὶ πάσης θλίψεως.

*Ἕτερος. Παῖδες Ἑβραίων.*

Οἶκος Τριάδος ἀνεδείχθης, θανατώσας σου τὸ τριμερὲς τρισμάκαρ, τῆς ψυχῆς σου θερμῶς αὔτη βοῶν οὐ παύῃ, εἰς τοὺς αἰώνας δόξα σοί, τῷ Θεῷ τῷ ἐν Τριάδι.

Νῦν ἐλλαμπόμενος Τριάδος, τοὺς ὑμνοῦντάς σε τῇ αἴγλῃ ἐλλαμφθῆναι, θεοφόρε σὺν σοὶ εὐδόκησον βοῶντας, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄγγελος ὤφθης ἐν γῇ Πάτερ, μετὰ σώματος ἀγγελικῶς βιώσας, ἐπουράνιος δὲ βροτὸς Θεῷ κραυγάζων, εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ὄρος κατάσκιον ὤραθης, ἀχειρότμητος ἐξ οὐ ἐτμήθη λίθος, τὴν λιθώδη διὸ κατάνυξον ψυχήν μου, πεπυρωμένην Δέσποινα, ταῖς πικραῖς φιληδονίαις.

Καταβασία: *Ἔκνοον πρόσταγμα.*

*Ὠδὴ η΄. Ἐν καμίνῳ παῖδας.*

Ὡς χωρεία τῇ θεοποιῷ, Γεράσιμε ἁγνείᾳ, τὰ πάθη τὰ τῆς σαρκός σου, ἀποκαθάρας, τοῖς πᾶσιν ἐξήστραψας ἀναμέλπων, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φωτοβόλος ἤστραψας ἀστήρ, φωτίζων τοὺς ἐν σκότει, διὸ σὲ ἐκδυσωποῦμεν, φωταγώγησον ἡμῶν καρδίας Γεράσιμε, ῥᾳθυμίας καὶ τῆς ἁμαρτίας τὸ σκότος ἐλαύνων, ὅπως σὲ ὑμνῶμεν ὡς μέγιστον προστάτην.

*Τριαδικόν.*

Ὡς μονάδα φύσει μὲν ἁπλήν, Τριάδα δὲ προσώποις, δοξάζομεν τὸν Πατέρα, τὸν συνάναρχον Υἱόν, καὶ Πνεῦμα τὸ ἅγιον μελωδοῦντες· Πάντα τὰ ἔργα Κυρίου

τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αιῶνας.

*Θεοτοκίον.*

Λάμπρυνόν μου πύλη τοῦ φωτός, τὸ ὄμμα τῆς καρδίας, τὰ νέφη τῶν παθῶν μου, καὶ τὸ σκότος τὸ βαθύ, ἁγνὴ ἀπελαύνουσα ἵνα μέλπω, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

*Ἕτερος. Τὸν ἐν ὄρει ἁγίῳ.*

Χάριν πάντες ἀντλήσατε πλουσίως, ἐκ τῶν θείων λειψάνων Γερασίμου, ἡ τῆς ψυχῆς ἐκπλύνεται ὁ βόρβορος πάντων τῶν βοώντων· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μὴ ἐλλείπης ὑπὲρ ἡμῶν πρεσβεύων, τῶν τελούντων τὴν ἱεράν σου μνήμην, καὶ πρὸς Θεὸν ἀκοίμητον Γεράσιμε, σὲ προβαλλομένων πρέσβυν καὶ μεσίτην, εἰς πάντας τοὺς αἰῶνας.

Ὑπερεύχου Θεῳ τῶν εὐφημούντων, σὲ ἐκ πόθου καὶ πίστει ἐκτελούντων, τὴν φωτοφόρον μνήμην σου Γεράσιμε, καὶ ὑπερυψούντων τοῦτον ὡς Δεσπότην, ἁπάντων εἰς αἰῶνας.

*Θεοτοκίον.*

Χαῖρε θρόνε πυρίμορφε Κυρίου, χαῖρε πύλη ἀΰλου φρυκτωρίας, χαῖρε τὸν κόσμον πάντα διασῴζουσα, ταῖς πρὸς σὲ πρεσβείαις, τοῦ θεράποντός σου, παρθένε Γερασίμου.

Καταβασία: *Εὐλογεῖτε παῖδες.*

*ᾨδὴ θ΄. Τύπον τῆς ἁγνῆς.*

Ἵνα τοὺς λαμπροὺς ἀγῶνάς σου, ἀσκητικούς τε πόνους καὶ τὰ παλαίσματα, καὶ τὰ κατὰ γῆν, τετελεσμένα καὶ θάλασσαν, ἐκθειάζωμεν Πάτερ σου θαύματα, τοῦ βίου τῶν σκανδάλων, τῶν βλαβερῶν ἡμᾶς περίσῳζε.

Ἤδη οὐρανοὺς Γεράσιμε περιπόλων, τοῖς κάτῳ ἡμῖν κατέλιπες, τὸ καρτερικόν, καὶ πλῆρες χάριτος σῶμά σου, ἁγιάζον ἡμᾶς ταῖς προσψαύσεσι, καὶ παῦον πᾶσαν νόσον, ταῖς τῶν θαυμάτων ἐπιδόσεσι.

Στῆσον ἱεραῖς πρεσβείαις σου, τὸ καθ᾿ ἡμῶν κλυδώνιον ἐγειρόμενον, καὶ ἀπέλασον, τῶν πειρασμῶν τὴν σκοτόμαιναν, καὶ ἀνθρώπων παντοίων τὴν κάκωσιν, ὡς ἔχων παῤῥησίαν, πρὸς τὸν Σωτῆρα καὶ Θεὸν ἡμῶν.

*Θεοτοκίον.*

Ἄρον τὸ βαρὺ φορτίον μου, τῶν ἐγκλημάτων Θεοτόκε πανύμνητε, καὶ τὸν ἐλαφρότατον, ζυγὸν καταξίωσον, τοῦ Υἱοῦ καὶ Θεοῦ σου βαστάζειν με, καὶ τρῖβον διοδεύειν, τὴν πρὸς τὴν ἄνω λῆξιν φέρουσαν.

*Ἕτερος. Κυρίως Θεοτόκον.*

Φωτίζεις θεοφόρε, τοὺς τῇ ἱερᾷ σοῦ, προσπεφευγότας σορῷ καὶ τελοῦντάς σου, τὴν ἀεισέβαστον μνήμην Πάτερ Γεράσιμε.

Ψυχῆς μου τὰς κηλῖδας, τῷ τῶν πρεσβειῶν σου, φαρμάκῳ Πάτερ ἰάτρευσον δέομαι, καὶ σοὶ συστῆναι δυσώπει Θεὸν Γεράσιμε.

Ὠδὴν τὴν ἐκ καρδίας, πρώτως τῇ σῇ μνήμῃ, ὑφάναντα ταῖς πρεσβείαις σου, ἐκ τῆς γεέννης λύτρωσαι Πάτερ Γεράσιμε.

*Θεοτοκίον.*

Ἁγία Θεοτόκε, ἅγιον ναόν με, ἀπέργασον σωτηρίας τε, ἱκετηρίᾳ οἰκείᾳ σὺ με ἀξίωσον.

Καταβασία: *Μυστικὸς εἶ Θεοτόκε.*

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Πολλοῖς ἀγῶσιν Ὅσιε, τὸν νοῦν ἀναπτερώσας σου, πρὸς ἀπαθείας τὸ ὕψος, ἀνέδραμες θεοφόρε, τῳ τοῦ Χριστοῦ νῦν βήματι, παρεστηκὼς γηθόμενος, ὑπέρ ἡμῶν οὖν πρέσβευε, Γεράσιμε τῶν τελούντων, τὴν παναγίαν σου μνήμην.

*Τῆς ἑορτῆς.*

Σταῦρος ὁ φύλαξ πάσης τῆς οἰκουμένης…

*ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ. Ἱστῶμεν στίχους δ΄. Ἦχος β΄. Ποίοις εὐφημιῶν.*

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τὸν θεοφόρον, τὸν τῆς παρθενίας διδάσκαλον, καὶ τῆς ἐγκρατείας ὑπέρμαχον, τὸν ὀρθὸν ἀσκήσεως κανόνα, τὸ βάθος ἀκτημοσύνης τὸ ἀκρότατον, τὸ ὕψος τῆς ἀκακίας καὶ ἁπλότητος, ὑπομονῆς θεῖον στῦλον, τὸν οὐράνιον μὲν βροτόν, ἐπίγειον δὲ Ἄγγελον, ὀφθέντα

νέον Γεράσιμον.
Ποίοις πνευματικοῖς ᾄσμασι, μακαρίσωμεν τὸν θεοφόρον, τὸ λαμπρὸν τῆς χάριτος ὄργανον, καὶ θεῖον δοχεῖον τοῦ Πνεύματος, χαλεπῶν παντοίων τὸν διώκτην, ἁπάσης τῆς οἰκουμένης τὸ ἐντρύφημα, καὶ ὄντως φαιδρὸν λαμπτῆρα τὸν πολύφωτον, τῶν μοναζόντων τὸ κλέος, Ἐκκλησίας ὡς ἀληθῶς, πρωτοτόκων τὸν σύσκηνον, τὸν θεῖον καὶ ἀξιάγαστον Γεράσιμον.
Πᾶσι τὰ τῆς χαρᾶς σύμβολα, ἡ ὑπέρλαμπρος τοῦ Γερασίμου μνήμη, ὑπεμφαίνει συνέλθωμεν, ᾄσμασι κροτοῦντες τὸν ἄξιον, πάσης τῆς ἐν λόγῳ εὐφημίας, οὔκ ἐστιν ἐξαριθμήσασθαι τὰς χάριτας, ὑπερβαίνει λογισμοὺς τὰ προτερήματα, τοῦ ἰσαγγέλου σου βίου, ᾧ τὸ ἐν ἀνθρώποις σαθρόν, ὑπεστήριξας μαθητά, Χριστοῦ τοῦ παρέχοντος, τοῖς λειψάνοις σου χάριν ἄφθονον.
Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν τὸν θεοφόρον, τὸν ἐν οὐρανοῖς διαιτώμενον, καὶ πνευματικῶς πάντας προφθάνοντα, τοὺς εἰλικρινῶς αὐτὸν ποθοῦντας, τὸν πάντων προασπιστὴν καὶ ἀντιλήπτορα, τὸ μέγα τῶν θλιβομένων παραμύθιον, τὸ ἀῤῥαγέστατον τεῖχος, τῆς Μονῆς τῆς τούτου, τὸν δι' οὗ δαιμόνων ὀφρῦν, Χριστὸς κατεβέβληκεν ὁ ἔχων τὸ μέγα ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῇ παμφαεῖ πανηγύρει, τοῦ θεοφόρου Πατρὸς Γερασίμου, ἅπαντες δεῦτε συνδράμωμεν. Προῢθηκε

γὰρ ἡμῖν, ὡς ἑστιάτωρ πνευματικὸς τράπεζαν μυστικήν, τὰς ἀσκητικὰς αὐτοῦ ἀριστείας καὶ τρόπαια, καὶ συγκαλεῖται πάντας πρὸς εὐωχίαν ἀδάπανον, μηδεὶς ἐξέλθῃ πεινῶν τῆς ἱερᾶς ταύτης πανδαισίας· καὶ γὰρ ἀμείβεται πάντας τοῖς οὐρανίοις χαρίσμασιν, ὧν ἐν μετοχῇ γενέσθαι ἀξιωθείημεν, ταῖς πρὸς Θεὸν αὐτοῦ παρακλήσεσι.

*Καὶ νῦν. Τῆς ἑορτῆς.*

Ἡ φωνὴ τοῦ Προφήτου σου Μωυσέως...

*Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.*

Τὰ Τυπικά· ἐκ τοῦ κανόνος τῆς Ἑορτῆς τὴν γ´ ᾠδὴν καὶ τοῦ Ἁγίου τὴν ς´ ᾠδήν.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος βαρύς: *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

Στίχ.: *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;*

Πρὸς Ἑβραίους ἐπιστολῆς Παύλου: *Ἀδελφοί, πείθεσθε τοῖς Ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε...* (Ζήτει Ἰανουαρίου ζ')

Εὐαγγέλιον. Κατὰ Λουκᾶν: *Τῷ καιρῷ ἐκείνῳ ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ...* (Ζήτει ὡσαύτως Ἰανουαρίου ιζ').

Κοινωνικόν: *Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.*

*Μεγαλυνάριον.*

Φύλαττε τοὺς δούλους σου ἐκ δεινῶν, παντοίων τρισμάκαρ, καὶ λοιμώδους νόσους σοφέ, ὅπως δὲ ὡς ῥύστην, ἀκοίμητον ὑμνῶμεν, Γεράσιμε οἱ πόθῳ σοι καταφεύγοντες.

